αὐτοῦ ἐν πυρὶ ἐν Γαι-βαναι-εννομ καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο
καὶ ἐφαρμακεύετο καὶ ἐποίησεν ἐγγαστριμύθους καὶ ἐπαοιδούς·
ἐπλήθυνεν τοῦ ποιῆσαι τὸ πονηρὸν ἐναντίον κυρίου τοῦ παροργ-
7 γίσαι αὐτόν. [7]καὶ ἔθηκεν τὸ γλυπτὸν καὶ τὸ χωνευτόν, εἰκόνα ἣν
ἐποίησεν, ἐν οἴκῳ θεοῦ, οὗ εἶπεν ὁ θεὸς πρὸς Δαυιδ καὶ πρὸς
Σαλωμων υἱὸν αὐτοῦ Ἐν τῷ οἴκῳ τούτῳ καὶ Ιερουσαλημ, ἣν ἐξ-
ελεξάμην ἐκ πασῶν φυλῶν Ισραηλ, θήσω τὸ ὄνομά μου εἰς τὸν
8 αἰῶνα· [8]καὶ οὐ προσθήσω σαλεῦσαι τὸν πόδα Ισραηλ ἀπὸ τῆς
γῆς, ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν, πλὴν ἐὰν φυλάσσωνται τοῦ
ποιῆσαι πάντα, ἃ ἐνετειλάμην αὐτοῖς, κατὰ πάντα τὸν νόμον καὶ
9 τὰ προστάγματα καὶ τὰ κρίματα ἐν χειρὶ Μωυσῆ. [9]καὶ ἐπλάνησεν
Μανασσης τὸν Ιουδαν καὶ τοὺς κατοικοῦντας ἐν Ιερουσαλημ τοῦ
ποιῆσαι τὸ πονηρὸν ὑπὲρ πάντα τὰ ἔθνη, ἃ ἐξῆρεν κύριος ἀπὸ
10 προσώπου υἱῶν Ισραηλ. [10]καὶ ἐλάλησεν κύριος ἐπὶ Μανασση καὶ
11 ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ οὐκ ἐπήκουσαν. [11]καὶ ἤγαγεν κύριος ἐπ᾽
αὐτοὺς τοὺς ἄρχοντας τῆς δυνάμεως βασιλέως Ασσουρ, καὶ κατ-
έλαβον τὸν Μανασση ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ
12 ἤγαγον εἰς Βαβυλῶνα. [12]καὶ ὡς ἐθλίβη, ἐζήτησεν τὸ πρόσωπον
κυρίου τοῦ θεοῦ αὐτοῦ καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου
13 θεοῦ τῶν πατέρων αὐτοῦ· [13]καὶ προσηύξατο πρὸς αὐτόν, καὶ ἐπ-
ήκουσεν αὐτοῦ· καὶ ἐπήκουσεν τῆς βοῆς αὐτοῦ καὶ ἐπέστρεψεν
αὐτὸν εἰς Ιερουσαλημ ἐπὶ τὴν βασιλείαν αὐτοῦ· καὶ ἔγνω Μα-
14 νασσης ὅτι κύριος αὐτός ἐστιν ὁ θεός. — [14]καὶ μετὰ ταῦτα ᾠκο-
δόμησεν τεῖχος ἔξω τῆς πόλεως Δαυιδ ἀπὸ λιβὸς κατὰ Γιων ἐν
τῷ χειμάρρῳ καὶ ἐκπορευομένων τὴν πύλην τὴν κυκλόθεν καὶ εἰς
τὸ Οφλα καὶ ὕψωσεν σφόδρα. καὶ κατέστησεν ἄρχοντας τῆς δυ-
15 νάμεως ἐν πάσαις ταῖς πόλεσιν ταῖς τειχήρεσιν ἐν Ιουδα. [15]καὶ
περιεῖλεν τοὺς θεοὺς τοὺς ἀλλοτρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου
κυρίου καὶ πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου
16 κυρίου καὶ ἐν Ιερουσαλημ καὶ ἔξω τῆς πόλεως. [16]καὶ κατώρθωσεν
τὸ θυσιαστήριον κυρίου καὶ ἐθυσίασεν ἐπ᾽ αὐτὸ θυσίαν σωτηρίου

**6** γαι Ra.] γε B†, γη A | βαναι Ra.] βανε B†, βε A, βεν V | οιωνιζ. .. εφαρμ.] tr. B† | επληθυνεν] εποιησεν A(†): iungit hoc uerbum cum επαοιδους || **7** και $2^{0}$ > B† | θεου] κυριου A pl.: cf. 34 9 | προς $2^{0}$ > B† | υιον] pr. τον BL† || **8** και paenult. mu.] > BA | κριματα] + και δικαιωματα A† || **9** κυριος > A† | υιων] pr. των AL† || **10** επηκουσαν] -σεν B*†, επ > AL || **11** αυτους] -τον A† | δυναμ.] δυναστειας A† | κατελαβον τον] -βοντο A, -βοντο τον L† || **12** κυριου του] tr. B | θεου ult.] pr. του A || **13** αυτου $2^{0} \frown 3^{0}$ A† | ο > B† || **14** μετα ταυτα / ωκοδ.] tr. B† | γιων Ra.] γιον B*†, νοτον ABc, νοτον του γειων L(†) | και εκπορ. — οφλα] pr. και κατα την εισοδον την δια της πυλης της ιχθυικης και περιεκυκλωσε(ν) το αδυτον ABc | εκπορευομενων] εκ > A | εις το οφλα pau.] εις αυτο ο. A, εις αυτον οπλα B†, εθετο εις αυτην ὅπλα compl.: cf. 27 3 || **15** εν ult. > A | εξω] εξωθεν B†, pr. εξεβαλεν L† || **16** κυριου > B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/916 UNIVERSITÄT LEIPZIG